πάτεις τὴν λέξιν, καὶ μυσταγωγίας ἑτέρας εἰσήγησιν οὐκ ἀνακηρύξεις, καὶ λουτρὸν ἐγκαινίζειν ἁμαρτημάτων καθάρσιον, οὐκ ἐπ' ὀνόματι τοῦ κυρίου Ἰησοῦ τελούμενον, οὐδὲ κατ' ἄλλον τινὰ τῶν εἰρημένων λόγον μυσταγωγούμενον, ἀλλὰ συνειδήσεως ἀγαθῆς εἰς Θεὸν ὑπάρχον ἐπερώτημα; ὁρᾷς ὅσοις ἀτόποις ἑαυτοὺς ἐκδιδόασιν, οἷς ἡ τῶν ὀνομάτων ἀβασάνιστος προφορὰ τῆς ἐν τοῖς πράγμασιν ἀληθείας προτετίμηται; Ἀλλὰ τί μὴ 1) φημὶ καὶ ἕτερόν τι τῶν εἰρημένων οὐδενὸς ἀπεταχθέστερον; (ἵνα μὴ λέγω πάντων βαρύτερον)· ἡ τοῦ πνεύματος μεγαλόφωνος σάλπιγξ, Παῦλος 2), ὁ μετάρσιος ἄνθρωπος, μέγα καὶ περιφανὲς ἀπεσάλπισεν, ὡς «εἰς τὸν θάνατον Χριστοῦ ἡμεῖς ἐβαπτίσθημεν»· ἀκούεις ἄνθρωπε; ἀλλὰ προεῖπεν αὐτός «ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν»· οὐκοῦν ἅμα δύο μυσταγωγίαι κατὰ τὴν ὑπόθεσιν τῶν ἀδιακρίτως κεχρῆσθαι δογματιζόντων τοῖς ὀνόμασι· μία μὲν εἰς τὸν θάνατον βαπτίζουσα τοῦ Χριστοῦ, ἑτέρα δὲ εἰς Χριστὸν Ἰησοῦν, ἀλλ' οὐκ εἰς τὸν αὐτοῦ θάνατον 3).

§. ζ'. Τί οὖν δεῖ λέγειν; ἡ γὰρ τῶν ἐλέγχων ἀδέκαστος συνεξέτασις οὐκ ἐκείνους μόνους ἔλεγχον ἔσχε τὸ ἀπαράγραπτον, οἳ διαφόρους μυσταγωγίας παρὰ τὴν δεσποτικὴν τερατολογοῦσι τοὺς μαθητὰς ἐπιδείξασθαι, ἀλλά γε δοκεῖ [καὶ] παρενείρειν ὅλως, [ὡς] 4) τῆς δεσποτικῆς ἱερολογίας προκειμένης, ἑτέρας φωνάς, αἳ μὴ κατὰ πάντα πρὸς αὐτὴν τὸ ἀπαράλλακτον διασώζουσιν, ἀποφαίνειν οὐκ ἀναίτιον· τὸ δέ, οὐδὲν τοιοῦτόν ἐστιν· οὐ γὰρ ἀντινομοθετοῦσι πράττειν παρὰ τὸν ἐκείνης ὅρον καὶ τὸ θέσπισμα, οὐδ' εἰς ἑαυτὰς περιιστῶσι τὸ ταύτης προνόμιον, εἰς αὐτὴν δὲ μόνην ἀναφέρουσι τὸν τῆς παλιγγενεσίας λόγον, καὶ ταύτην ἐν τῇ ποικιλίᾳ τῶν ὀνομάτων διασημαίνουσί τε καὶ ἀπαγγέλλουσι. Τί οὖν δεῖ λέγειν; τί δαὶ ἄλλο, παρ' ὃ εἴρηται; καί, παραδειγματικῶς εἰπεῖν, ὅτι πάντα, ὅσα τὴν παλιγγενεσίαν ἐπισημαίνονται, οἷον λαμπάδες εἰσί τινες, φωταγωγοῦσαι 5), καὶ πρὸς τὸ θεῖον καὶ πηγαῖον ἐκεῖνο καὶ ἀκήρατον καὶ ἀέναιον [πῦρ] 6) ἀναχεόμεναι· οὐ μὴν αὗταί γέ εἰσι τὸ καθάρσιον πῦρ, οὐδὲ κατὰ ταύτας τελεσιουργεῖται ἡ ἀναγέννησις, ἀλλ' ἓν μέν ἐστιν ἐκεῖνο τὸ τὴν ὑπὲρ λόγον χάριν καὶ υἱοθεσίαν χαριζόμενον, ἐκεῖνα δὲ τοῦτο παραδηλοῦσι, τὰ μὲν σαφέστερον, τὰ δὲ αἰνιγματικώτερον, καὶ τὴν αὐτὴν ἡμῖν καὶ μίαν μυσταγωγίαν μυστικῶς τε καὶ συνεπτυγμένως ὑποσημαίνονται· καὶ γὰρ τοῖς μὲν φιλοθεάμοσι, καὶ νοῦν ὀνομάτων καὶ ῥημάτων κατανοεῖν χάριν παρὰ τοῦ πνεύματος εἰληφόσιν, ἕκαστον τῶν ἀνὰ μέρος εἰρημένων, τὸ εἰς πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον ἀπαγγέλλουσι βάπτισμα· τοῖς δὲ μέχρι τῆς πύλης τῶν ἀκοῶν τὸν ἦχον παραδεχομένοις τοῦ ῥήματος, τὸ δὲ ἔνδον κωφὸν προϊεμένοις κριτήριον, μυρίοις ἂν εἴη περιπταίειν παραπτώμασιν.

§. η'. Οὐκ ἐπὶ μόνης δὲ τῆς παρούσης ὑποθέσεως ψιλαῖς ταῖς λέξεσι πολλοὶ τῶν πραγμάτων ἀποστάντες, περικάθηνται, ἀλλὰ καὶ ἐπὶ μυρίων ἄλλων, δι' ὧν τὰ αἱρετικὰ τῆς ἐκκλησίας παραφυέντα ζιζάνια, καρπὸν μὲν οὐδένα τρόφιμον γεωργεῖ, δηλητηριώδη δὲ βλαστάνει φάρμακα· ἀλλ' οὐχ οὕτως ἡ εὐσέβεια, πανταχοῦ δὲ μᾶλλον τοῦ πνεύματος ἢ τοῦ γράμματος γινομένη, καὶ τὸν καρπὸν τῆς εὐσεβείας 7) τρυγᾷ, καὶ τροφῆς ἀπολαύει, οὐδεμιᾶς ἐπιμιγνυμένης αὐτῇ δρακοντείας ἐπισπορᾶς, ἀλλ' οὐδὲ ἴχνος οὐδὲν ὑποφαινούσης τοῦ παλαιοῦ ὄφεως· ἐπεὶ πῶς ἂν εἴη λέγειν, ὡς τὸ εἰς Χριστὸν βαπτίζειν, ἕτερος νόμος βαπτίσματος; πῶς δ' ἄλλος, τὸ εἰς τὸν τοῦ Χριστοῦ βαπτίζειν θάνατον; εἰ γὰρ τῆς μυσταγωγίας νόμος ἦν τούτων ἑκάτερον, ἀλλήλοις ἀντενομοθέτουν ἄν, καὶ δι' ὧν τις ἀνατρέπειν ἐπεχείρει θάτερον, [καὶ] τὸ λοιπὸν συνανέτρεπεν. Ὡσαύτως δὲ καὶ εἰ νόμων εἰσφορᾶς προνόμιον εἶχον τὰ τοιαῦτα, οὐκ ἀλόγως ἂν καὶ ἡ δεσποτικὴ μυσταγωγία εἰς τὸ περιττόν τε καὶ ἄχρηστον παρεδίδετο, κἀκείνη πάλιν τούτων ἁπάντων εἰσηγεῖτο μετὰ λαμπροτέρας τῆς ἰσχύος καὶ τοῦ ἀξιώματος τὴν ἀναίρεσιν· οὐκοῦν καὶ ἀπὸ τῆς πρὸς 8) ἄλληλα τῶν πολλάκις εἰρημένων ῥημάτων * διαφορᾶς 9) τὸ ἑνιαῖον ἐκεῖνο καὶ μονότροπον καὶ δεσποτικὸν ἰσχὺν λαμβάνει μᾶλλον καὶ ἐπιγνώσκεται βάπτισμα, ἐκείνων δὲ οὐδὲν εἰς τὸ ταύτης [τῆς] μυσταγωγίας μεταπίπτει, οὐδὲ μετατίθεται προνόμιον. Τί δ' ἂν εἴποις, τῆς τοῦ πνεύματος λεγούσης πάλιν γλώσσης, τῆς τὰ ἄρρητα ῥητὰ ποιούσης, καὶ πρὶν ἢ τὸ σαρκίον ἀποθέσθαι, πολυπραγμονούσης τὰ οὐράνια 10); καὶ γὰρ «εἰς ἓν σῶμα πάντες, φησίν, ἐβαπτίσθημεν»· ἄρα καὶ τοῦτο νόμον ἀντινομοθετοῦντα τῷ δεσποτικῷ παραγγέλματι νομίσεις, καὶ κατ' αὐτὸ τελέσεις τὸ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων βάπτισμα; μὴ σύ γε, ἂν ἐμοὶ πείθῃ, μᾶλλον δέ, κἂν μὴ πείθῃ· οὐδὲν γὰρ διαφέρει τοῦτο τῶν ἐπὶ ψάμμου παίδων ἀθυρόντων, καὶ ἅμα μὲν οἰκίας καὶ πόλεις ἀγωνιστικῶς οἰκοδομούντων, ἅμα δὲ ἀγωνιστικώτερον καταστρεφομένων· καὶ γὰρ καὶ τὸ νῦν μὲν τοῦτο νομίζειν μυσταγωγίαν, νῦν δὲ πάλιν ἄλλο, εἰς ἀπειρίαν ἐστὶ τὸ ἑνιαῖον τοῦ βαπτίσματος διασκεδαννύναι, καὶ ὑπορρεῖν τε θᾶττον παρασκευάζειν, καὶ πρὸς ὕβριν καταστρέφειν καὶ ἀνυπαρξίαν τὸ μέγα δῶρον καὶ θεοπρεπέστατον. Ἐβάπτιζον μὲν οὖν οἱ Ἀπόστολοι κατὰ τὴν τοῦ

1) Τὸ «μὴ» λείπει ἐκ τοῦ ΒΜ. 2) Ῥωμ. ς 3. — 3) Τὰ ἀπὸ τοῦ «μία μὲν — θάνατον» λείπουσιν ἐκ τοῦ ΒΜ. — 4) Ἡμετ. διόρθ. ἐν ΑΡ. καὶ ΒΜ. λείπουσιν ὁ καὶ καὶ τὸ ὡς, ὧν χωρὶς ἡ ἔννοια οὐκ εὐοδοῦται. — 5) Φωταυγοῦσαι ΒΜ. — 6) Τὸ πῦρ ἡμετ. διόρθ λείπει δ' ἐν ΑΡ. καὶ ΒΜ, κεῖται δ' ἐν τῇ Λατιν. ἑρμηνείᾳ. — 7) Ἰσ. γρ. τῆς ἀκριβείας. — 8) Λείπει ἡ πρὸς ἐκ τοῦ ΒΜ. — 9) Πάντα τὰ μεταξὺ τῶν ἀστερίσκων ἀπὸ τοῦ «διαφορᾶς μέχρι τοῦ ἀποσκευάσασθαι» ἐν ὅλοις στίχοις 35 λείπουσιν ἐκ τοῦ ΒΜ — 10). Τὸν Παῦλον ζωγραφεῖ· ἴδε Α. Κορ. ιβ. 13.

Σωτῆρος ἐντολήν, καὶ βαπτίζειν ἄλλοις παρεδίδοσαν εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, καὶ τὸ δόγμα ἥπλωτο πανταχοῦ, καὶ τοῖς ἔργοις ὁ νόμος ἐκράτει, καὶ τὸ κήρυγμα τὴν οἰκουμένην περιέτρεχεν· ἐλέγοντο δὲ βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ ἐν τῷ ὀνόματι τοῦ Κυρίου, καὶ εἰς τὸν θάνατον τοῦ Χριστοῦ, καὶ ὅσα τοιαῦτα, οὐχ ὅτι τὸ τῆς παλιγγενεσίας δῶρον διὰ τῆς τοιαύτης ἐπικλήσεως τῶν ὀνομάτων ἱερούργουν, ἀλλ' ὅτι κατὰ τὸν ἐκείνου νόμον, καὶ ἣν ἐδωρήσατο μυσταγωγίαν, κατ' ἐκείνην, τὴν τοῦ βαπτίσματος [τοῖς] μυουμένοις παρείχοντο χάριν. Εἰς ὄνομα οὖν Χριστοῦ, καὶ εἰς Χριστόν, καὶ ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ βαπτίζειν τοὺς Ἀποστόλους ὅταν ἀκούσῃς, τὸν νοῦν ἐφίστη καὶ κατανόει, ὅτι διὰ τοῦτο βαπτίζειν οὕτως ἐλέγοντο, διότι πανταχοῦ τὸν τοῦ Χριστοῦ νόμον, βαπτίζοντες, ἐκρατύνοντο, οὐδὲν ἀφαιροῦντες, οὐδὲν προστιθέντες, ἀλλ' εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος τὴν καθάρσιον μυσταγωγίαν τοῖς προσιοῦσιν ἱερουργούμενοι. Οἷς οὖν εἰσηγητὴν καὶ μυσταγωγὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οἱ βαπτίζοντες τῆς ἱερᾶς ταύτης τελεταρχίας ἀνεκήρυττον, τούτους ἀκόλουθον ἦν καὶ εἰδέναι καὶ λέγειν, ὅτι εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ ἐβάπτιζον, καὶ ὅσα τοιαῦτα κατὰ τὸν ὅμοιον τύπον τῆς φωνῆς ἐκφερόμενα σχηματίζεται· τουτέστιν ἐβάπτιζον οἱ Ἀπόστολοι, ὡς παρέλαβον, ὡς ὁ διδάσκαλος παραδέδωκεν, ὡς τὸ τοῦ κυρίου θεσπίζει πρόσταγμα, ὡς ἡ τοῦ μυσταγωγήσαντος δόξα ἐκπρέπετο· καὶ γὰρ καὶ τὸ ὄνομα λέγεται, οὐ μόνον ὃ δηλοῖ τὸ κύριον καὶ ἀφωρισμένον τῆς ὑποστάσεως, ἀλλ' οὐδὲν ἔλαττον, καὶ τὴν δόξαν, καὶ τὴν τιμήν, καὶ τὸν ἔπαινον· πολλὴ γὰρ κατὰ τοῦτό γε τὸ σημαινόμενον ἡ χρῆσις τῆς φωνῆς, οὐ μόνον παρ' ἡμῖν, ἀλλὰ καὶ οἷς τὸ περὶ τὰς λέξεις φιλότιμον μέγα σοφίας χρῆμα νομίζεται. Ἔστιν οὖν ἀκούειν λεγόντων, ὡς ὄνομα κατέλιπε τῷ βίῳ, ἀντὶ τοῦ δόξαν περὶ αὐτοῦ καὶ ἔπαινον· καὶ ἀνὰ παντὸς ἦν αὐτοῦ στόματος τὸ ὄνομα 1), ἀντὶ τοῦ παρὰ πάντων ἐπαίνοις ἐστέφετο, καὶ πολλῆς ἀπήλαυε τῆς τιμῆς· καὶ πολλὰ τοιαῦτα· καὶ παρ' ἡμῖν δὲ ἱερολογεῖται, «ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ» 2), ἀντὶ τοῦ ἡ δόξα σου καὶ τὸ ἐξαίρετον τῆς τιμῆς· ναὶ δὴ καὶ ὁ σοφὸς τὰ θεῖα καὶ τὰ ἀνθρώπινα, Παῦλον λέγω, τῶν Ἀποστόλων τὸ καύχημα, οὕτω τῇ φωνῇ κεχρημένος φαίνεται· λέγει γάρ· «οὐκ ἐβάπτισα, εἰ μὴ Κρῆσπον καὶ Γάϊον, ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον» 3)· καὶ μετ' ὀλίγον «ἵνα μή τις εἴπῃ, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα»· οὐ γὰρ τοῦτο λέγει, ἄπαγε, ὅτι τὴν τελετὴν τοῦ βαπτίσματος οὐκ ἐπὶ τῷ ἰδίῳ μυσταγωγῶν ὤφθη ὀνόματι· ἐπεὶ καὶ τὸν Στεφανᾶ οἶκον, καὶ τοὺς ἄλλους, οὓς ἐβαπτίσατο, οὐχὶ Παῦλον ἐπικαλούμενος, τὴν ἀναγέννησιν αὐτοῖς ἐχαρίζετο· οὐδεὶς γὰρ οὐδὲ τῶν ἀθεωτάτων ταύτην ἂν τὴν συκοφαντίαν τῷ Παύλῳ προσέρριψεν, ἵνα κἀκεῖνος λόγον ἐποιεῖτο, τὴν τοιαύτην τερατείαν * ἀποσκευάσασθαι· ἀλλὰ τί ποτε ἦν ὃ λέγει; ἢ ὅτι, διὰ τοῦτο μὴ προηγούμενον ἔργον ἐθέμην τὸ βάπτισμα, ἵνα μὴ τῷ πλήθει τῶν βαπτιζομένων, δόξαν ἐμαυτῷ περιάπτειν τοῖς βασκάνοις λέγειν, καὶ τὰ κάλλιστα τῷ φθόνῳ βάλλειν βίον ποιουμένοις, πρόφασιν ἐπὶ διαβολῇ παρέξω, καὶ τὴν σωτηρίαν τῶν ἀναγεννωμένων καπηλεύειν, ἐπαίνοις ἰδίοις τὸ δῶρον τοῦ πνεύματος ἐνυβρίζων· καὶ δι' ἄλλων δὲ μυρίων ἐστὶ συνιδεῖν, ὡς ἡ δόξα καὶ ὁ ἔπαινος καὶ ἡ τιμὴ σημαίνεται τῷ ὀνόματι.

§. θ'. Ναὶ 4) δὴ διὰ τούτων ἡ τοιαύτη θεωρία καὶ ἐπ' αὐτὰ τὰ καθ' ἕκαστα τῶν ὀνομάτων διαβαίνει, ἃ δὴ τὸν ἀφορισμὸν 5) καὶ τὴν διαστολὴν ποιεῖται τῶν προσώπων, καὶ νῦν μὲν μίμησίν τινα καὶ ὁμοίωσιν τοῦ κατάρξαντος προσώπου πράξεώς τινος μεγαλοπρεποῦς ἀπαγγέλλει, νῦν δὲ φυλακὴν καὶ συντήρησιν τῶν παραγγελμάτων ὑπογράφει· ταύτῃ γὰρ καὶ εἰς τὸν Μωσῆν οἱ Ἰσραηλῖται βαπτίσασθαι 6) λέγονται, οἷον ἐκεῖνον μιμούμενοι, τὴν ὑγρὰν φύσιν πεζοποροῦντες ποσὶν ἀβρόχοις διέβησαν, καὶ τῆς πράξεως ἡγεμόνα ποιησάμενοι, καὶ πρὸς αὐτὸν ὁρᾶν ὅλην τὴν ἐλπίδα ἀναθέμενοι, τῶν Αἰγυπτίων τῆς ἐπιβουλῆς ὤφθησαν κρείττους, καὶ οἷς αὐτοὶ ῥείθροις οὐδὲ τοὺς πόδας ἐνοτίζοντο, τούτοις ὑποβρυχίους γινομένους τοὺς διώκοντας 7) ἔβλεπον, καὶ διπλαῖς εὐφροσύναις ἐνετρύφων, τῆς τε τῶν ἐχθρῶν παραδόξου πανωλεθρίας, καὶ τῆς ἰδίας ὑπὲρ λόγον σωτηρίας. Τοιαύτης τινὸς ἀκολουθίας ἔχεται καὶ ἅπερ τῆς οἰκουμένης ὁ διδάσκαλός φησιν, «ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν»· διὰ μὲν γὰρ τοῦ «εἰς Χριστὸν ἐβαπτίσθημεν» τὸ κατὰ τὴν ἐκείνου μυσταγωγίαν καὶ τὴν παραδεδομένην τελετὴν ἀπαγγέλλει καὶ ἡμᾶς τὴν ἀναγέννησιν ἐπιτελεῖν, διὰ δὲ τοῦ «εἰς τὸν θάνατον αὐτοῦ» οὐχ ὅτι τὸ λουτρὸν τῆς παλιγγενεσίας τῇ τοῦ δεσποτικοῦ θανάτου ἐπικλήσει τελεσιουργοῦμεν, μὴ γένοιτο, (Εὐνομίῳ γὰρ τῷ ἀνομοίῳ 8) τὸ τοιοῦτον ἐτολμήθη παρανόμημα), ἀλλ' ὅτι οἱ βαπτιζόμενοι εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ὡς ἐν ἱεροῖς συμβόλοις καὶ κρυφιομύστοις αἰνίγμασι τὸν τοῦ σωτῆρος ἐκμιμοῦνται θάνατον, καὶ ὑπογράφουσι, καὶ διατυποῦσιν, ἅπερ ἑκὼν ἐκεῖνος ὑπέμεινε, τὴν μὲν τριήμερον ἐν τῷ ᾅδῃ διατριβὴν ἐξεικονίζοντες τῇ τριπλῇ κατα-

1) Ἢ τὴν ἀνὰ τρεπτέον εἰς τὴν διά, ἢ γραπτ. ἀνὰ πᾶν ἦν αὐτοῦ στόμα τὸ ὄνομα. — 2) Ψαλ. η, 19 — 3) Α. Κορινθ. α, 16. καὶ Χρυσόστ. αὐτόθ. ὁμιλ. Γ. — 4) καὶ δὴ ΒΜ. — 5) διαφορισμὸν ΒΜ. — 6) Α. Κορινθ. ι, 2. — 7) διώκτας ΒΜ. — 8) ΒΜ. (ὁ γὰρ Εὐνόμιος ἦν τῆς αἱρέσεως τῶν Ἀνομοίων)· τὸ δὲ ΑΡ. ἀνομίῳ ἴσ. κατὰ παρήχησιν ἐκ τοῦ ἀνομία, ὡς τὸ ἐκνόμιος κτλ.